eul_wid: izm-ab

*Ῥιανὸς ὁ Κρής* · Rhianus of Crete

# On Human Folly and Divine Gifts

## *Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι

book 1.2 πελόμεσθα ἄνθρωποι, φέρομεν δὲ θεῶν ἑτερόρροπα δῶρα ἀφραδέϊ κραδίῃ· βιότοιο μὲν ὅς κ’ ἐπιδευὴς

book 1.3 στρωφᾶται, μακάρεσσιν ἔπι ψόγον αἰνὸν ἰάπτει ἀχνύμενος, σφετέρην δ’ ἀρετὴν καὶ θυμὸν ἀτίζει, οὐδέ τι θαρσαλέος νοέειν ἔπος οὐδέ τι ῥέξαι, ἐρριγὼς ὅθι τ’ ἄνδρες ἐχεκτέανοι

book 1.4 παρέωσιν, καί οἱ θυμὸν ἔδουσι κατηφείη καὶ ὀϊζύς. Ὃς δέ κεν εὐοχθῇσι, θεὸς δ’ ἐπὶ ὄλβον ὀπάζῃ καὶ πολυκοιρανίην, ἐπιλήθεται οὕνεκα γαῖαν

book 1.5 ποσσὶν ἐπιστείβει θνητοὶ δέ οἱ εἰσὶ τοκῆες, ἀλλ’ ὑπεροπλίῃ καὶ ἁμαρτωλῇσι νόοιο ἶσα Διὶ βρομέει, κεφαλὴν δ’ ὑπέραυχον ἀνίσχει, καίπερ ἐὼν ὀλίγος, μνᾶται δ’ εὔπηχυν Ἀθήνην,

book 1.1 ἠέ τιν’ ἀτραπιτὸν

book 1.2 τεκμαίρεται Οὔλυμπόνδε, ὥς κε μετ’ ἀθανάτοισιν ἀρίθμιος εἰλαπινάζῃ. Ἡ δ’ Ἄτη ἁπαλοῖσι μετατρωχῶσα πόδεσσιν ἄκρης ἐν κεφαλῇσιν ἀνώϊστος καὶ ἄφαντος ἄλλοτε μὲν γραίῃσι νεωτέρη, ἄλλοτε δ’ αὖτε ὁπλοτέρῃσι γρηῢς ἐφίσταται ἀμπλακίῃσιν, Ζηνὶ θεῶν κρείοντι Δίκῃ τ’ ἐπίηρα φέρουσα.

book 10 Ἀδμήτῳ παραθητεῦσαι μέγαν εἰς ἐνιαυτόν

book 13.1 Ὑμετέρη

book 13.2 τοι, τέκνα, Φορωνέος Ἰναχίδαο ἀρχῆθεν γενεή· τοῦ δὲ κλυτὸς ἐκγένετ’ Ἆπις, ὅς ῥ’ Ἀπίην ἐφάτιξε καὶ ἀνέρας Ἀπιδανῆας.

book 16 Ἀνθήνηθεν ἵκοντο.

book 19 Πᾶσαι δ’ εἰσαΐουσι, μιῆς ὅτε τ’ οὔνομα λέξῃς.

book 20.1 Γόρτυν’ Ἡραιάν

book 20.2 τε πολυδρύμους 〈τε〉 Μελαινάς

book 25.1 Πυρραίην

book 25.2 ποτὲ τήν γε

book 25.3 παλαιότεροι καλέεσκον Πύρρης Δευκαλίωνος ἀπ’ ἀρχαίης ἀλόχοιο, Αἱμονίην δ’ ἐξαῦτις ἀφ’ Αἵμονος, ὅν ῥα

book 25.4 Πελασγὸς γείνατο φέρτατον υἱόν· ὁ δ’ αὖ τέκε Θεσσαλὸν Αἵμων,[ln_5]τοῦ δ’ ἄπο Θεσσαλίην λαοὶ μετεφημίξαντο.

book 30 Αὐτὰρ Δωνεττῖνοι ἰδ’ ὀτρηροὶ Κεραῖνες

book 31 Σὺν δὲ Παραυαίους καὶ ἀμύμονας Ὀμφαλιῆας

book 32 Συλίονες δ’ ἕσποντο ὁμοῦ.

book 34.1 Κεστρῖνοι

book 34.2 Χαῦνοί τε καὶ αὐχήεντες Ἐλινοί

book 36.1 [ln_1]Μένος

book 36.2 πνείοντες Ἀμύνται

book 38 [ln_1]Ἑπτὰ δὲ Δωνεττῖνοι, ἀτὰρ δυοκαίδεκα Κᾶρες

book 39 [ln_1]Νήσοις Ὀξείῃσι καὶ Ἀρτεμίτῃ ἐπέβαλλον.

book 41.1 Οἱ δ’ ἄφαρ ὁπλισθέντες ἴσαν κραναὴν

book 41.2 ποτὶ Φύλλον.

book 47 Τοὶ δ’ ἤδη ἐπὶ νηὸν ἐϋκνήμιδος Ἰτώνης

book 50 [ln_1]Αὐδὴν εἰσάμενος Δωτηΐδι Νικοτελείῃ

book 51.1 [ln_1]Τὴν μὲν ἀνήγετ’ ἄκοιτιν ἐπὶ κραναὴν

book 51.2 Φιγάλειαν.

book 54.1 Οὔρεος ἀργεννοῖο

book 54.2 περὶ πτύχας ἐστρατόωντο

book 54.3 χείματά τε

book 54.4 ποιάς

book 54.5 τε δύω καὶ ἐείκοσι πάσας.

book 55.1 Πάρ

book 55.2 τε τρηχὺν Ἐλαιὸν ὑπὲρ δρυμόν

book 55.3 τε Λύκοιο

book 56 [ln_1]Κλῦθί μοι εὐχάων Ἀρακυνθιὰς εὐπατέρεια.

book 57 [ln_1]Αὐχένος ἐξ ὑπάτοιο κύβοις ἐπιτέλλεται ἰξύς.

book 58 λίθος μέλας

book 60 Ἐχίονος ἄστυ

book 66.1 Τὸ ῥόπαλον τῷ Πανὶ καὶ ἰοβόλον

book 66.2 Πολύαινος [para]τόξον, καὶ κάπρου

book 66.3 τούσδε καθᾶψε πόδας, καὶ ταύταν γωρυτὸν ἐπαυχένιόν

book 66.4 τε κυνάγχαν [para]θῆκεν ὀρειάρχᾳ δῶρα

book 66.5 συαγρεσίης.[ln_5]Ἀλλ’, ὦ Πὰν

book 66.6 σκοπιῆτα, καὶ εἰς ὀπίσω

book 66.7 Πολύαινον [para]εὔαγρον πέμποις υἱέα

book 66.8 Σιμύλεω.

book 67.1 Ἀρχυλὶς ἡ Φρυγίη θαλαμηπόλος, ἡ περὶ πεύκας [para]πολλάκι

book 67.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς ἱεροὺς

book 67.3 χευαμένη

book 67.4 πλοκάμους, γαλλαίῳ Κυβέλης ὀλολύγματι

book 67.5 πολλάκι δοῦσα τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ στομάτων,[ln_5]τάσδε θεῇ χαίτας

book 67.6 περὶ δικλίδι θῆκεν ὀρείῃ, [para]θερμὸν ἐπεὶ λύσσης ὧδ’ ἀνέπαυσε πόδα.

book 68.1 Παῖς Ἀσκληπιάδεω καλῷ καλὸν εἵσατο

book 68.2 Φοίβῳ [para]Γόργος ἀφ’ ἱμερτᾶς

book 68.3 τοῦτο γέρας κεφαλᾶς. Φοῖβε, σὺ δ’ ἵλαος, Δελφίνιε, κοῦρον ἀέξοις [para]εὔμοιρον λευκὴν ἄχρις ἐφ’ ἡλικίην.

book 69.1 Ὧραί σοι Χάριτές

book 69.2 τε κατὰ γλυκὺ χεῦαν ἔλαιον, [para]ὦ πυγά· κνώσσειν δ’ οὐδὲ γέροντας ἐᾷς. Λέξον μοι, τίνος ἐσσὶ μάκαιρα τύ, καὶ τίνα

book 69.3 παίδων [para]κοσμεῖς; ἁ πυγὰ δ’ εἶπε· Μενεκράτεος.

book 70.1 Ἡ Τροιζὴν ἀγαθὴ κουροτρόφος· οὐκ ἂν ἁμάρτοις [para]αἰνήσας

book 70.2 παίδων οὐδὲ τὸν ὑστάτιον. Τόσσον δ’ Ἐμπεδοκλῆς

book 70.3 φανερώτερος, ὅσσον ἐν ἄλλοις [para]ἄνθεσιν εἰαρινοῖς καλὸν ἔλαμψε ῥόδον.

book 71.1 Οἱ παῖδες λαβύρινθος ἀνέξοδος· ᾗ γὰρ ἂν ὄμμα [para]ῥίψῃς, ὡς ἰξῷ τοῦτο

book 71.2 προσαμπέχεται. Τῇ μὲν γὰρ Θεόδωρος ἄγει

book 71.3 ποτὶ πίονα

book 71.4 σαρκὸς [para]ἀκμήν, καὶ γυίων ἄνθος ἀκηράσιον·[ln_5]τῇ δὲ Φιλοκλῆος

book 71.5 χρύσεον ῥέθος, ὅς γε καθ’ ὕψος [para]οὐ μέγας, οὐρανίη δ’ ἀμφιτέθηλε χάρις. Ἢν δ’ ἐπὶ Λεπτίνεω

book 71.6 στρέψῃς δέμας, οὐκέτι γυῖα κινήσεις, ἀλύτῳ δ’ ὡς ἀδάμαντι μενεῖς, ἴχνια κολληθείς· τοῖον σέλας ὄμμασιν αἴθει[ln_10]κοῦρος, κὰς νεάτους ἐκ κορυφῆς ὄνυχας. Χαίρετε καλοὶ παῖδες, ἐς ἀκμαίην δὲ μόλοιτε [para]ἥβην, καὶ λευκὴν ἀμφιέσαισθε κόμην.

book 72.1 Ἦ ῥά νύ τοι, Κλεόνικε, δι’ ἀτραπιτοῖο κιόντι [para]στεινῆς ἤντησαν

book 72.2 ταὶ λιπαραὶ Χάριτες· καί σε

book 72.3 ποτὶ ῥοδέῃσιν ἐπηχύναντο χέρεσσιν, [para]κοῦρε· πεποίησαι δ’ ἡλίκος ἐσσὶ χάρις·[ln_5]τηλόθι μοι μάλα

book 72.4 χαῖρε· πυρὸς δ’ οὐκ ἀσφαλὲς ἆσσον [para]ἕρπειν αὐηρήν, ὦ φίλος, ἀνθέρικα.

book 73.1 Ἰξῷ Δεξιόνικος ὑπὸ χλωρῇ πλατανίστῳ [para]κόσσυφον ἀγρεύσας, εἷλε κατὰ πτερύγων· χὠ μὲν ἀναστενάχων ἀπεκώκυεν ἱερὸς ὄρνις. [para]Ἀλλ’ ἐγώ, ὦ φίλ’ Ἔρως, καὶ θαλεραὶ Χάριτες, [ln_5]εἴην καὶ κίχλη καὶ κόσσυφος, ὡς ἂν ἐκείνου [para]ἐν

book 73.2 χερὶ καὶ φθογγὴν καὶ γλυκὺ δάκρυ βάλω.

book 74.1 Ἀγρεύσας τὸν νεβρὸν ἀπώλεσα, χὠ μὲν ἀνατλὰς [para]μυρία, καὶ στήσας δίκτυα καὶ στάλικας, σὺν κενεαῖς

book 74.2 χείρεσσιν ἀπέρχομαι· οἱ δ’ ἀμογητὶ τἀμὰ φέρουσιν, Ἔρως, οἷς σὺ γένοιο βαρύς.

book 75 Ἥμισυ μὲν πίσσης κωνίτιδος, ἥμισυ δ’ οἴνου, [para]Ἀρχῖν’, ἀτρεκέως ἥδε λάγυνος ἔχει· λεπτοτέρης δ’ οὐκ οἶδ’ ἐρίφου κρέα· πλὴν ὅ γε πέμψας [para]αἰνεῖσθαι πάντων ἄξιος Ἱπποκράτης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 76.1 [ln_1]Τρηχείην κατ’ ἐμεῦ, ψαφαρὴ κόνι, ῥάμνον ἑλίσσοις [para]πάντοθεν, ἢ σκολιῆς ἄγρια κῶλα βάτου, ὡς ἐπ’ ἐμοὶ μηδ’ ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι [para]ἴχνος, ἐρημάζω δ’ ἥσυχα κεκλιμένος.[ln_5]Ἦ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ’ ἀστοῖσι

book 76.2 φιληθείς, Τίμων· οὐδ’ Ἀΐδῃ γνήσιός εἰμι νέκυς.